www.e-rara.ch

# Sibylliakoi Chrēsmoi ... =

**Opsopäus, Johannes**

**Amstelodami, 1689**

**Stiftung der Werke von C.G.Jung, Zürich**

Persistent Link: https://doi.org/10.3931/e-rara-10751

Oracula metrica Jovis, Apollinis, Hecates, Serapidis, et aliorum deorum ac vatum tam virorum quam foeminarum a Joanne opsopoeo collecta. Item Astrampsychi oneirocriticon [...].

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ORACULA METRICA
JOVIS, APOLLINIS, HECATES,
SERAPIDIS, ET ALIORUM
Deorum ac vatum tam virorum
quam fœminarum
A JOANNE OPSOPOEO COLLECTA.

ITEM

# ASTRAMPSYCHI
ONEIROCRITICON,
A JOS. SCALIGERO,
Digeſtum & caſtigatum.

GRÆCE ET LATINE.

# TESTIMONIA ALIQUOT DE ORACULIS GRÆCORUM.

Neque enim omnia quæ sparsim apud auctores veteres occurrunt, tibi lector obtrudere & bonitate tua abuti decrevi. Singula oracula singulos tractatus requirerent. Conscripserat è Græcis Philemon Atheniensis opus περὶ πυθολήπτων χρηστηρίων, Oenomaus philosophus de vanitate oraculorum, Porphyrius περὶ τῆς ἐκ λογίων φιλοσοφίας: è Latinis Cornelius Labeo librum cui titulum fecit, de Oraculo Apollinis Clarii. Sed hos omnes hactenus saltem desiderare licuit. Erit forsan qui aut aliquem ex illis nobis aliquando proferat, aut simile argumentum bono publico elaboratum impertiatur.

## HERODOTUS CLEIO.

Μετὰ τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι, καὶ τοῦ ἐν Λιβύῃ, διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς Ἄβας [*vitiose vulgo* Σάβας] τῶν Φωκέων, τοὺς δὲ ἐς Δωδώνην. οἱ δέ τινες ἐπέμποντο παρά τε Ἀμφιάρεων καὶ παρὰ Τροφώνιον· οἱ δὲ, τῆς Μιλησίης ἐς Βραγχίδας. ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήια, ἐς τὰ ἀπέπεμψε μαντευσόμενος Κροῖσος· Λιβύης δὲ παρὰ Ἄμμωνα ἀπέστελλε ἄλλους χρησομένους.

### Stephanus in Τέγυρα.

Καλλισθένης ἐν τρίτῳ τῶν Ἑλληνικῶν, εἶναι μαντεῖά φησι τὸ μὲν Ἰσμήνιον ἐν Θήβαις, τὸ δὲ Τροφώνιον ἐν Λεβαδίᾳ, τὸ δ' ἐν Ἄβαις λεγόμενον ἐν Φωκεῦσι· τὸ δὲ κυριώτερον ἐν Δελφοῖς, ὃ καὶ μάλιστά φασι μεμαρτυρηκέναι τὴν ἐν Τεγύρᾳ.

### Idem in Εὔτρησις.

Ἐκλήθη δὲ Εὔτρησις, διὰ τὸ πολλαῖς αὐτὴν πρότερον χρήσασθαι ῥύμαις, ὡς Ἐπαφρόδιτος ὁ κωμήτης, Εὐτρησίτης· ἀφ' οὗ Ἀπόλλων Εὐτρησίτης· καὶ ἱερὸν αὐτοῦ, καὶ μαντεῖον ἐνδοξότατον.

### Strabo lib. XVI.

Καὶ οἵ γε ἀρχαῖοι τὰ παρὰ τῶν θεῶν ἐπρέσβευον μᾶλλον καὶ ἐσέμνυνον, καὶ διὰ τοῦτο καὶ ὁ χρηστηριαζόμενος ἦν τότε πολὺς, καὶ τρέχων εἰς μὲν Δωδώνην, ὅπως.

Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,

συμβούλῳ τῷ Διῒ χρώμενος. εἰς δὲ Δελφοὺς τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν

Εἰ μηκέτ' εἴη. ---- αὐτὸς δ' ὁ παῖς
Ἔστειχε τοὺς τεκόντας ἐκ μαθεῖν θέλων
Πρὸς δῶμα Φοίβου.

### Suidas.

Ὁ Ἀπόλλων ὑποφήτης ἐστὶ τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρει.

### Clemens Alex. προτρεπτικῷ λόγῳ.

Ἀδύτων τοίνυν ἄθεα μὴ πολυπραγμονεῖτε, μηδὲ βαράθρων στόματα τερατείας ἔμπλεα, ἢ λέβητα Θεσπρώτιον, ἢ τρίποδα Κιρραῖον, ἢ Δωδωναῖον χαλκεῖον. Γεράνδρυον δὲ ψάμμοις ἐρήμαις τετιμημένον, καὶ τὸ αὐτόθι μαντεῖον αὐτῇ δρυῒ μεμαρασμένον, μύθοις γεγηρακόσι καταλείψατε. σεσίγηται γοῦν καὶ ἡ Κασταλίας πηγὴ, καὶ Κολοφῶνος ἄλλη πηγή. καὶ τὰ ἄλλα ὁμοίως τέθνηκε νάματα μαντικά· καὶ δὴ τοῦ τύφου κενὰ ὀψὲ μέν· ὅμως δ' οὖν διελήλεγκται, τοῖς ἰδίοις συνεκρεύσαντα μύθοις. διήγησαι ἡμῖν καὶ τῆς ἄλλης μαντικῆς, μᾶλλον δὲ μανικῆς·



τὰ

τὰ ἄχρηστα χρηστήρια· τὸ Κλάριον, τὸ Πύθιον, τὸ Διδυμέα, τὸ Ἀμφιάρεω, τὸ Ἀπόλλω, τὸ Ἀμφίλοχον· εἰ δὲ βούλει, καὶ τερατοσκόπους καὶ οἰωνοσκόπους, καὶ τοὺς ὀνείρων κριτὰς τοὺς ἀνιέρους σὺν αὐτοῖς. στῆσον δὲ ὁμοῦ, παρὰ τὸν Πύθιον, τοὺς ἀλευρομάντεις ἄγων καὶ κριθομάντεις, καὶ τοὺς ἔτι παρὰ τοῖς πολλοῖς τετιμημένους ἐγγαστριμύθους. ναὶ μὴν, ἄδυτα Αἰγυπτίων, καὶ Τυρρηνῶν νεκυομαντεῖαι, σκότει παραδεδόσθων. μανικὰ ταῦτα ὡς ἀληθῶς ἀνθρώπων ἀπίστων σοφιστήρια καὶ πλάνης ἀκράτου κυβευτήρια.

# DE ORACULIS IOVIS
## *Dodonæi & Ammonis.*

### Herodotus Euterpe.

ΤΟ δὴ μαντήιον τὸ ἐν Δωδώνῃ νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι. καὶ ἦν τὸν χρόνον τοῦτον μοῦνον. *Et mox*; Χρηστηρίων δὲ πέρι τοῦ ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ τόνδε Αἰγύπτιοι λόγον λέγουσι. ἔφασαν οἱ ἱρέες τοῦ Θηβαιέος Διὸς, δύο γυναῖκας ἱρηίας ἐκ Θηβέων ἐξαχθῆναι ὑπὸ Φοινίκων, καὶ τὴν μὲν αὐτέων πυθέσθαι ἐς Λιβύην πρηθεῖσαν, τὴν δὲ ἐς τοὺς Ἕλληνας. ταύτας δὲ τὰς γυναῖκας εἶναι τὰς ἱδρυσαμένας τὰ μαντήια πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι. εἰρομένου δέ μευ ὁκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγουσι, ἔφασαν πρὸς ταῦτα ζήτησιν μεγάλην ἀπὸ σφέων γενέσθαι τῶν γυναικῶν τουτέων· καὶ ἀνευρεῖν μέν σφεας οὐ δυνατοὶ γενέσθαι, πυθέσθαι δὲ ὕστερον ταῦτα περὶ αὐτέων τάπερ δὴ ἔλεγον. ταῦτα μέν νυν τῶν ἐν Θήβῃσι ἱρέων ἤκουον. τάδε δὲ Δωδωναίων φασὶ αἱ προμάντιες, δύο πελειάδας μελαίνας ἐκ Θηβέων τῶν Αἰγυπτίων ἀναπταμένας, τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ παρὰ σφέας ἀπικέσθαι. ἱζομένην δέ μιν ἐπὶ φηγὸν, αὐδάξασθαι φωνῇ ἀνθρωπίνῃ, ὡς χρεὼν εἴη μαντήιον αὐτόθι Διὸς γενέσθαι. καὶ αὐτοὺς ὑπολαβεῖν θεῖον εἶναι τὸ ἐπαγγελλόμενον αὐτοῖσι, καὶ σφέας ἐκ τούτου ποιῆσαι. τὴν δὲ ἐς τοὺς Λίβυας οἰχομένην πελειάδα, λέγουσι Ἄμμωνος χρηστήριον κελεῦσαι τοὺς Λίβυας ποιέειν. ἔστι δὲ καὶ τοῦτο Διός. Δωδωναίων δὲ αἱ ἱρήιαι (τῶν τῇ πρεσβυτάτῃ οὔνομα ἦν Προμένεια, τῇ δὲ μετ' αὐτὴν Τιμαρέτη, τῇ δὲ νεωτάτῃ Νικάνδρη) ἔλεγον ταῦτα. συνωμολόγεον δέ σφι καὶ ἄλλοι Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν. *& quæ sequuntur.*

### Strabo libro VII.

Χαόνες καὶ Μολοττοὶ ἐνδοξότατοι, διὰ τὸ ἄρξαι ποτὲ πάσης τῆς Ἠπειρώτιδος, καὶ διὰ τὸ παρὰ τούτοις εἶναι τὸ ἐν Δωδώνῃ μαντεῖον, παλαιόν τε καὶ ὀνομαστὸν ὄν.

### Ibidem.

Ἐκλέλοιπε δέ πως καὶ τὸ μαντεῖον τὸ ἐν Δωδώνῃ, καθάπερ τ' ἄλλα.

### Hermeias Philosophus.

Περὶ δὲ τοῦ Δωδωναίου μαντείου διάφορα εἰσὶ τὰ ἱστορούμενα· ἔστι μὲν γὰρ παλαιότατον τῶν Ἑλληνικῶν μαντείων. λέγουσι δὲ, οἱ μὲν ὅτι δρῦς ἦν ἐκεῖ ἡ μαντεύουσα, οἱ δὲ ὅτι περιστεραί· τὸ δὲ ἀληθὲς, ὅτι γυναῖκες ἦσαν ἱέρειαι αἱ μαντεύουσαι, δρυῒ τὴν κεφαλὴν στρεφόμεναι, αἵτινες ἐκαλοῦντο πελειάδες. ἴσως οὖν ἀπὸ τοῦ ὀνόματος τινὲς πλανηθέντες, ὑπέλαβον εἶναι περιστερὰς τὰς μαντευούσας. ἐπειδὰν δὲ καὶ τὴν κεφαλὴν δρυῒ κατεστρέφοντο, ἴσως διὰ τοῦτο εἰρήκασι καὶ τὴν δρῦν μαντεύειν. ἔστι δὲ Διὸς τὸ μαντεῖον. τὸ δὲ ἐν Δελφοῖς, Ἀπόλλωνος. εἰκότως οὖν ἀμφότερα παρέλαβον ὡς συγγενῆ τὰ μαντεῖα. καὶ γὰρ ὁ Ἀπόλλων ὑπουργὸς λέγεται τῆς τοῦ Διὸς δημιουργίας, καὶ πολλάκις, εἰ ἔδοξεν αὐτοῖς ἀσαφὴς εἶναι ὁ τοῦ Δωδωναίου χρησμὸς, ἀπήεσαν εἰς τὸ ἐν Δελφοῖς, χρησόμενοι τί βούλεται ὁ τοῦ Διὸς χρησμός. καὶ πολλοὺς αὐτῶν ἐξηγήσατο πολλάκις ὁ Ἀπόλλων. ἐνθουσιῶσαι μὲν οὖν καὶ μαντευόμεναι αἱ ἱέρειαι, πολλὰ εὐηργέτησαν τοὺς ἀνθρώπους προλέγουσαι τὰ μέλλοντα καὶ προδιορθούμεναι. σωφρονοῦσαι δὲ ὅμοιαι ἦσαν ταῖς ἄλλαις γυναιξίν.

### Suidas.

Δήμων φησὶν, ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται, τούτους δὲ ψαύειν ἀλλήλοις, καὶ κρουσθέντος τοῦ ἑνὸς, ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων, δύο φησὶ στύλους εἶναι, καὶ

ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκοῦς ὄντας σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν.

Et statim.

Δωδώνη πόλις ἐν τῇ Θεσπρωτίδι Πελασγίᾳ, ἐν ᾗ ἵστατο δρῦς, ἐν ᾗ μαντεῖον ἦν γυναικῶν προφητίδων. καὶ εἰσιόντων τῶν μαντευομένων, ἐκινεῖτο δῆθεν ἡ δρῦς ἠχοῦσα· αἱ δὲ ἐφθέγγοντο ὅτι τάδε λέγει ὁ Ζεύς. Καὶ ἀνδριὰς ἵστατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ' αὐτὸν λέβης ἵστατο, καὶ ἔτυπτεν ὁ ἀνδριὰς τὸν λέβητα, ἐξ οὗ ἦχός τις ἐναρμόνιος ἀπετελεῖτο.

Pausanias in Laconicis.

Προελθόντι δὲ ἐντεῦθεν, ἱερόν ἐστιν Ἄμμωνος. φαίνονται δὲ ἀπ' ἀρχῆς Λακεδαιμόνιοι μάλιστα Ἑλλήνων χρώμενοι τῷ ἐν Λιβύῃ μαντείῳ. λέγεται δὲ καὶ Λυσάνδρῳ πολιορκοῦντι Ἄφυτιν τὴν ἐν τῇ Παλλήνῃ, νύκτωρ ἐπιφανέντα Ἄμμωνα προαγορεύειν ὡς ἄμεινον ἐκείνῳ τε ἔσοιτο καὶ τῇ Λακεδαίμονι, πολέμου πρὸς Ἀφυταίους παυσαμένοις· καὶ οὕτω τὴν πολιορκίαν διέλυσεν ὁ Λύσανδρος, καὶ Λακεδαιμονίοις τὸν θεὸν σέβειν προήγαγεν ἐς πλέον. Ἀφυταῖοι δὲ τιμῶσιν Ἄμμωνα, οὐδὲν ἧσσον ἢ οἱ Ἀμμώνιοι Λιβύων.

Stephanus de urbibus.

Ἔχει δὲ ἡ πόλις Ἀφύτη μαντεῖον Ἄμμωνος. *Vide Strabonem lib.* XVII.

# DE APOLLINIS ORACULIS,

## *Branchidis, Clari, Thebis, & Delphis.*

Herodotus libro I.

Οἱ Κυμαῖοι ἔγνωσαν συμβουλῆς πέρι ἐς θεὸν ἀνῶσαι τὸν ἐν Βραγχίδῃσι. ἦν γὰρ αὐτόθι μαντήιον ἐκ παλαιοῦ ἱδρυμένον, τῷ Ἴωνές τε πάντες καὶ Αἰολέες εἰώθεσαν χρέεσθαι.

Strabo libro XIIII.

Μετὰ τὸ Ποσείδιον τὸ Μιλήσιον ἑξῆς ἐστι τὸ μαντεῖον τοῦ Διδυμέως Ἀπόλλωνος τὸ ἐν Βραγχίδαις, ἀναβάντι ὅσον ὀκτωκαίδεκα σταδίους. ἐνεπρήσθη δὲ ὑπὸ Ξέρξου, καθάπερ καὶ τἆλλα ἱερὰ πλὴν τοῦ ἐν Ἐφέσῳ.

Pausanias in Achaicis.

Κολοφώνιοι δὲ τὸ μὲν ἱερὸν τὸ ἐν Κλάρῳ καὶ τὸ μαντεῖον ἐκ παλαιοτάτου γενέσθαι νομίζουσι.

Strabo libro XIII.

Καὶ ἡ Κολοφὼν πόλις Ἰωνική, καὶ τὸ πρὸ αὐτῆς ἄλσος τοῦ Κλαρίου Ἀπόλλωνος, ἐν ᾧ καὶ μαντεῖον ἦν ποτε παλαιόν.

Scholiastes Apollonii εἰς τὸ ά τῶν Ἀργοναυτικῶν.

Κλάρος πόλις πλησίον Κολοφῶνος, ἱερὰ Ἀπόλλωνος, καὶ χρηστήριον τοῦ θεοῦ ἀπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον· ἢ ἀπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. Νέαρχος δέ φησιν, ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὀνομάσθαι. οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες φασίν, ὅτι ὑπὸ τῶν ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ Μυκηναίῳ τὸ γένος, καὶ γημαμένη αὐτῷ (τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσειεν) συναπῆλθεν ἐκείνῳ εἰς Κολοφῶνα, κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν· διόπερ ὠνομάσθη Κλάρος ἀπὸ τῶν δακρύων. συγχεῖς γὰρ τὸ λ τὸ ρ, ὡς ὑδρηλοί, ἀντὶ τοῦ ὑδρηροί· λέγεται δὲ καὶ κρήνην ἀναβλύσαι ἀπὸ τῶν δακρύων Μαντοῦς κατὰ Κλάρον, καὶ μαντεῖον ἐκεῖ Ἀπόλλωνος αὐτὴν καταστῆσαι.

Herodotus Urania.

Οὗτος ὁ Μῦς ἔς τε Λεβάδειαν ἀπικόμενος φαίνεται, καὶ μισθῷ πείσας τῶν ἐπιχωρίων ἄνδρα, καταβῆναι παρὰ Τροφώνιον· καὶ ἐς Ἄβας τὰς Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον. καὶ δὴ καὶ ἐς Θήβας (τὰς Βοιωτῶν) πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν τῷ Ἰσμηνίῳ Ἀπόλλωνι ἐχρήσατο (ἔστι δέ,

κατάπερ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι) τοῦτο δὲ, ξεῖνόν τινα καὶ οὐ Θηβαῖον χρήμασι πίσας, κατεκοίμισε ἐς Ἀμφιάρεων. Θηβαίων δὲ οὐδενὶ ἔξεστι μαντεύεσθαι αὐτόθι, &c.

Scholiastes Apollonii εἰς τὸ α΄ τῶν Ἀργοναυτικῶν.

Ἰσμηνὸς ποταμὸς Βοιωτίας· ἀφ' οὗ Ἰσμηνίου Ἀπόλλωνος ἱερόν.

Strabo lib. IX.

Δελφοὶ μὲν ἐπιφανέστατοι διὰ τὸ ἱερὸν τοῦ Πυθίου Ἀπόλλωνος, καὶ τὸ μαντεῖον ἀρχαῖον ὄν, εἴγε Ἀγαμέμνων, ἀπ' αὐτοῦ χρηστηριάσασθαι λέγεται ὑπὸ τοῦ ποιητοῦ.

Ὣς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθοῖ ἐν ἠγαθέῃ. *Et mox :*

Φασὶ εἶναι τὸ μαντεῖον, ἄντρον κοῖλον κατὰ βάθους, οὐ μάλα εὐρύστομον· ἀναφέρεσθαι δ' ἐξ αὐτοῦ πνεῦμα ἐνθουσιαστικόν· ὑπερκεῖσθαι δὲ τοῦ στομίου τρίποδα ὑψηλὸν, ἐφ' ὃν τὴν Πυθίαν ἀναβαίνουσαν, δεχομένην τὸ πνεῦμα, ἀποθεσπίζειν ἔμμετρά τε καὶ ἄμετρα· ἐντείνειν δὲ καὶ ταῦτα εἰς μέτρον ποιητάς τινας ὑπουργοῦντας τῷ ἱερῷ. Πρώτην δὲ Φημονόην φασὶ γενέσθαι Πυθίαν· κεκλῆσθαι δὲ καὶ τὴν προφῆτιν οὕτω καὶ τὴν πόλιν ἀπὸ τοῦ πυθέσθαι. Et.

Ἡ μὲν ἐπὶ τὸ πλεῖστον τιμὴ τῷ ἱερῷ τούτῳ διὰ τὸ χρηστήριον συνέβη, δόξαντι ἀψευδεστάτῳ τῶν πάντων ὑπάρξαι.

Pausanias in Phocicis.

Χρόνῳ δὲ ὕστερον καὶ Πυθὼ τὴν πόλιν, οὐ Δελφοὺς μόνον ἐκάλεσαν οἱ περιοικοῦντες.

Item.

Λέγεται δὲ πολλὰ μὲν καὶ διάφορα ἐς αὐτοὺς τοὺς Δελφοὺς, πλείω δὲ ἔτι ἐς τοῦ Ἀπόλλωνος τὸ μαντεῖον. φασὶ γὰρ δὴ τὰ ἀρχαιότατα Γῆς εἶναι τὸ χρηστήριον, καὶ Δαφνίδα ἐπ' αὐτῷ ταχθῆναι πρόμαντιν ὑπὸ τῆς Γῆς. εἶναι δὲ αὐτὴν τῶν περὶ τὸ ὄρος νυμφῶν. ἔστι δὲ ἐν Ἕλλησι ποίησις, ὄνομα μὲν τοῖς ἔπεσίν ἐστιν Εὐμολπία, Μουσαίῳ δὲ τῷ Ἀντιοφήμου προσποιοῦσι τὰ ἔπη. πεποιημένον οὖν ἐστιν ἐν τούτοις, Ποσειδῶνος ἐν κοινῷ καὶ Γῆς εἶναι τὸ μαντεῖον· καὶ τὴν μὲν χρᾶν αὐτὴν, Ποσειδῶνι δὲ ὑπηρέτην ἐς τὰ μαντεύματα εἶναι Πύρκωνα. καὶ οὕτως ἔχει τὰ ἔπη.

Αὐτίκα δὲ χθονίης σφῶν δὴ πινυτὸν φάτο μῦθον,
Σὺν δέ τε Πύρκων ἀμφίπολος κλυτοῦ ἐννοσιγαίου.

Χρόνῳ δὲ ὕστερον ὅσον τῇ Γῇ μετῆν δοθῆναι Θέμιδι ὑπ' αὐτῆς λέγουσιν, Ἀπόλλωνα δὲ παρὰ Θέμιδος λαβεῖν δωρεάν. Ποσειδῶνι δὲ ἀντὶ τοῦ μαντείου Καλαύρειαν ἀντιδοῦναί φασι αὐτὸν τὴν πρὸ Τροιζῆνος. Ἤκουσα δὲ καὶ ὡς ἄνδρες ποιμαίνοντες ἐπιτύχοιεν τῷ μαντείῳ, καὶ ἔνθεοί τε ἐγένοντο ὑπὸ τοῦ ἀτμοῦ, καὶ ἐμαντεύσαντο ἐξ Ἀπόλλωνος. Μεγίστη δὲ καὶ παρὰ πλείστων ἐς Φημονόην δόξα ἐστὶν, ὡς προμάντις γένοιτο ἡ Φημονόη τοῦ θεοῦ πρώτη, καὶ πρώτη τὸ ἑξάμετρον ᾖσε. Βοιὼ δὲ ἐπιχωρία γυνὴ ποιήσασα ὕμνον Δελφοῖς, ἔφη κατασκευάσασθαι τὸ μαντεῖον τῷ θεῷ τοὺς ἀφικομένους ἐξ Ὑπερβορέων τούς τε ἄλλους καὶ Ὠλῆνα· τοῦτον δὲ καὶ μαντεύσασθαι πρῶτον, καὶ ᾆσαι πρῶτον τὸ ἑξάμετρον. πεποίηκε δὲ ἡ Βοιὼ τοιάδε·

Ἔνθα τοι εὔμνηστον χρηστήριον ἐκτελέσαντο
Παῖδες Ὑπερβορέων Παγασὸς καὶ δῖος Ἀγυιεύς.

Ἐπαριθμοῦσα δὲ καὶ ἄλλους τῶν Ὑπερβορέων, ἐπὶ τελευτῇ τοῦ ὕμνου τὸν Ὠλῆνα ὀνόμασεν·

Ὠλήν θ' ὃς γένετο πρῶτος Φοίβοιο προφάτας,
Πρῶτος δ' ἀρχαίων ἐπέων τεκτάνατ' ἀοιδάν.

Οὐ μέντοι τά γε ἥκοντα ἐς μνήμην ἐς ἄλλον τινὰ, ἐς δὲ γυναικῶν μαντείαν ἀνήκει μόνων.

Jamblichus lib. I. cap. XI. περὶ τοῦ Πυθαγορικοῦ βίου.

Τῆς εὐσεβείας οἰκειότατόν ἐστι τὸ γένος τῶν γυναικῶν. ἑκάστην τὴν ἡλικίαν αὐτῶν συνώνυμον ποιήσασθαι θεῷ, καὶ καλεῖσθαι τὴν μὲν ἄγαμον κόρην, τὴν δὲ πρὸς ἄνδρα δεδομένην, νύμφην· τὴν δὲ τέκνα γεννησαμένην, μητέρα· τὴν δὲ παῖδας ἐκ παίδων ἐπιδοῦσαν, κατὰ τὴν Δωρικὴν διάλεκτον, μαῖαν. ᾧ σύμφωνον εἶναι τὸ τοὺς χρησμοὺς ἐν Δωδώνῃ καὶ Δελφοῖς δηλοῦσθαι διὰ γυναικός.

# DE TROPHONII ORACULO.

Suidas.

Τροφωνίου κατὰ γῆς ἐν Λεβαδείᾳ χρηστήριον ἦν ὃ καταβάσιον ἐκάλουν· στόμιον γάρ τι ἦν ὡς τὴν ἄκραν δύναμιν μόνον τὴν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι, ἀγνεύσαντες πρό τοι ὡρισμέναις ἡμέραις, καὶ κοσμήσαντες, ἑαυτοὺς ἱερῷ τινι σχήματι ἀμφοτέραις ταῖς χερσὶ μελιτούτας λαβόντες. ὅ ἐστι μάζας μέλιτι δεδευμένας, οὕτως ἐκάθιζον ἐπὶ τὸ στόμιον, καὶ αἰφνίδιον ἡρπάζοντο καὶ κατεδύοντο ἐπὶ τῆς γῆς. τὰς δὲ μάζας ἐλάμβανον ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντώντων ὄφεων, ἀλλ' ἐκείνας αὐτοὺς παραλαμβάνειν τροφήν. πολλοὶ μὲν οὖν καὶ αὐθημερὸν ἀνεπέμφθησαν, δι' οὗ στομίου κατῆλθον, πολλοὶ δὲ καὶ διὰ πλειόνων ἡμερῶν. ἦν δὲ ὁ Τροφώνιος Ἐργίνου παῖς, ἀδελφοῦ Ἀγαμήδους. ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ καταβαίνοντες πλακοῦντας ἔβαλλον.

Idem.

Εἰς Τροφωνίου μεμάντευται· ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάστων ἡ παροιμία τάττεται. οἱ γὰρ καταβαίνοντες εἰς Τροφωνίου, λέγονται τὸν ἐξῆς χρόνον ἀγέλαστοι εἶναι. τὸν δὲ Τροφώνιόν φασιν ἔχοντα τὴν κεφαλὴν τοῦ ἀδελφοῦ τοῦ Ἀγαμήδους, καὶ διωκόμενον ὑπὸ Αἰγαίου, δεξάμενον εἰς χάσμα ἐμπεσεῖν, οὗ δὴ καὶ τὸ μαντεῖόν ἐστιν.

# DE VIRIS ET

## *Fœminis fatidicis.*

Pauſanias Phocicis.

Χρησμολόγους δὲ ἄνδρας Κύπρον τε Εὔκλοον, καὶ Ἀθηναῖον Μουσαῖον τὸν Ἀντιοφήμου, καὶ Λύκον τὸν Πανδίονος, τούτους τε γενέσθαι καὶ ἐκ Βοιωτίας Βάκιν φασὶ κατάσχετον ἄνδρα ἐκ Νυμφῶν.

Clemens Alexandrinus.

Ἤδη δὲ καὶ παρ' Ἕλλησιν χρησμολόγοι συχνοὶ γεγονέναι φέρονται, ὡς οἱ Βάκιδες, ὁ μὲν Βοιώτιος, ὁ δὲ Ἀρκὰς, πολλὰ πολλοῖς προαγορεύσαντες. τῇ δὲ τοῦ Ἀθηναίου Ἀμφιλύτου συμβουλῇ καὶ Πεισίστρατος ἐκράτυνε τὴν τυραννίδα, τὸν καιρὸν τῆς ἐπιθέσεως δηλώσαντος. σιγάσθω γὰρ Κομήτης ὁ Κρὴς, Κινύρας ὁ Κύπριος, Ἄδμητος ὁ Θετταλὸς, Διονύσιος ὁ Καρχηδόνιος, Κλεοφῶν ὁ Κορίνθιος, Ἱππώ τε ἡ Χείρωνος, καὶ Βοιὼ, καὶ Μαντὼ, καὶ τῶν Σιβυλλῶν τὸ πλῆθος, ἡ Σαμία, ἡ Κολοφωνία, ἡ Κυμαία, ἡ Ἐρυθραία, ἡ Φυτὼ, ἡ Ταραξάνδρα, ἡ Μακέτις, ἡ Θετταλὴ, ἡ Θεσπρωτίς. Κάλχας τε αὖ καὶ Μόψος, οἱ κατὰ τὰ Τρωϊκὰ γεγόνασι, πρεσβύτερος δὲ ὁ Μόψος, ὡς ἂν συμπλεύσας τοῖς Ἀργοναύταις. φασὶ δὲ τὴν Μόψου καλουμένην μαντικὴν σύνταξαι τὸν Κυρηναῖον Βάττον· Δωρόθεός τε ἐν τῷ πρώτῳ πανδέκτῃ, Ἀλκυόνος καὶ Κορώνης ἐπακοῦσαι τὸν Μόψον ἱστορεῖ. προγνώσει δὲ καὶ Πυθαγόρας ὁ μέγας προσανεῖχεν αἰεί· Ἄβαρίς τε ὁ Ὑπερβόρειος, καὶ Ἀρισταίας ὁ Προκοννήσιος, Ἐπιμενίδης τε ὁ Κρὴς, ὅς τις εἰς Σπάρτην ἀφίκετο, καὶ Ζωροάστρης ὁ Μῆδος, Ἐμπεδοκλῆς τε ὁ Ἀκραγαντῖνος, καὶ Φορμίων ὁ Λάκων, ναὶ μὴν Πολυάρατος ὁ Θάσιος, Ἐμπεδότιμός τε ὁ Συρακούσιος· ἐπί τε τούτοις. Σωκράτης ὁ Ἀθηναῖος μάλιστα· ἔστι γάρ μοι (φησὶν ἐν τῷ Θεάγει) ἐκ παιδὸς ἀρξάμενον θείᾳ μοίρᾳ παραγινόμενον δαιμόνιον σημεῖον· τοῦτο δέ ἐστι φωνὴ, ἥ ὅτ' ἂν γένηται, ἐπίσχει τοῦτο ὃ μέλλω πράττειν, προτρέπει δὲ οὐδέ ποτε. Ἐξήκεστος ὁ Φωκέων τύραννος, δύο δακτυλίους φορῶν γεγοητευμένους, τῷ ψόφῳ τῷ πρὸς ἀλλήλους διησθάνετο τοὺς καιροὺς τῶν πράξεων· ἀπέθανεν δὲ ὅμως δολοφονηθεὶς, καίτοι προσημαίνοντος τοῦ ψόφου, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Φωκέων πολιτείᾳ. ἀλλὰ καὶ τῶν παρ' Αἰγυπτίοις ἀνθρώπων ποτὲ, γενομένων δὲ ἀνθρωπίνῃ δόξῃ θεῶν, Ἑρμῆς τε ὁ Θηβαῖος, καὶ Ἀσκληπιὸς ὁ Μεμφίτης, Τειρεσίας τ' αὖ καὶ Μαντὼ ἐν Θήβαις, ὥς φασιν Εὐριπίδης, Ἕλενος

ἤδη

ἤδη καὶ Λαοκόων, καὶ Οἰνώνη, καὶ Βρῆνος ἐν Ἰλίῳ. Κρῆνος γὰρ εἷς τῶν Ἡρακλειδῶν ἐπιφανὴς φέρεται μάντις, καὶ Ἴακος ἄλλος ἐν Ἤλιδι, ἀφ' οὗ οἱ Ἰαμίδαι, Πολύϊδός τε ἐν Ἄργει καὶ ἐν Μεγάροις, οὗ μέμνηται ἡ τραγῳδία. Τί μοι Τήλεμον καταλέγειν, ὃς Κυκλώπων μάντις ὤν, Πολυφήμῳ θεσπίζει τὰ κατὰ τὴν Ὀδυσσέως πλάνην· ἢ τὸν Ἀθήνησιν Ὀνομάκριτον, ἢ τὸν Ἀμφιάρεων, τὸν σὺν τοῖς ἑπτὰ τοῖς ἐπὶ Θήβας στρατεύσασι μιᾷ γενεᾷ τῆς Ἰλίου ἁλώσεως πρεσβύτερον φερόμενον· ἢ Θεοκλύμενον ἐν Κεφαλληνίᾳ, ἢ Τελμησὸν ἐν Καρίᾳ, ἢ Γάλεον ἐν Σικελίᾳ; εἰσὶ δ' αὖ καὶ ἕτεροι πρὸς τούτοις, Ἴδμων ὁ σὺν τοῖς Ἀργοναύταις, Φημονόη Δελφίς, Μόψος ὁ Ἀπόλλωνος, καὶ Μαντοῦς ἐν Παμφυλίᾳ καὶ Κιλικίᾳ, Ἀμφίλοχος Ἀμφιαράου ἐν Κιλικίᾳ, Ἀλκμαίων ἐν Ἀκαρνᾶσιν, Ἀνίας ἐν Δήλῳ, Ἀρίστανδρός τε ὁ Τελμησσεὺς ὁ σὺν Ἀλεξάνδρῳ γενόμενος. ἤδη δὲ καὶ Ὀρφέα Φιλόχορος μάντιν ἱστορεῖ γενέσθαι ἐν τῷ πρώτῳ περὶ μαντικῆς. Θεόπομπος δὲ καὶ Ἔφορος καὶ Τίμαιος, Ὀρθαγόραν τινὰ μάντιν ἀναγράφουσι, καθάπερ ὁ Σάμιος Πυθοκλῆς ἐν τετάρτῳ Ἰταλικῶν Γάϊον Ἰούλιον Νέπωτα. ἀλλ' οἱ μὲν κλέπται πάντες καὶ λησταί, ὥς φησιν ἡ γραφή, τὰ πλεῖστα ἐκ παρατηρήσεως καὶ ἐξ εἰκότων προειρηκότες, καθάπερ οἱ φυσιογνωμονοῦντες ἰατροί τε καὶ μάντεις· οἱ δὲ καὶ ὑπὸ δαιμόνων κινηθέντες, ἢ ὑδάτων καὶ θυμιαμάτων καὶ ἀέρος ποιοῦ ἐκταραχθέντες. παρ' Ἑβραίοις δὲ οἱ προφῆται, δυνάμει θεοῦ καὶ ἐπιπνοίᾳ. &c.

# ORACULA SUIS LOCIS

## *Inserenda.*

De Sicyonio Hippolyto, ex Plutar. Numa.

Καὶ δ' αὖθ' Ἱππολύτοιο φίλον κάρα εἰς ἄλα βαίνει. id est.
*Jamque iterum Hippolyti carum caput æquora sculcat.*

Ancæo, ex Iambl. lib. 1. περὶ τοῦ Πυθαγορικοῦ βίου.

Ἀγκαῖε, εἰναλίαν νῆσον Σάμον ἀντὶ Σάμης σε
Οἰκίζειν κέλομαι· Φυλλὰς δ' ὀνομάζεται αὕτη. id est.
*Ancæe, maritimam insulam Samum pro Same te*
*Condere jubeo. hæc autem nominatur Phyllas.*

Ἀπόλλων περὶ Πλωτίνου.

Ἀμβροτα φορμίζειν ἀναβάλλομαι ὕμνον ἀοιδῆς
Ἀμφ' ἀγανοῖο φίλοιο, μελιχροτάτοισιν ὑφαίνων
Φωναῖς εὐφήμου κιθάρης χρυσέῳ ὑπὸ πλήκτρῳ.
Κλήζω καὶ Μούσας ξυνὴν ὄπα γηρύσασθαι
Παμφώνοις ἰαχαῖσι, πανορμονίαισί τ' ἐρωαῖς,
Οἷον ἐπ' Αἰακίδῃ στῆσαι χορὸν ἐκλήϊξεν,
Ἀθανάτων μανίαισιν, Ὁμηρείαισί τ' ἀοιδαῖς.
Ἀλλά γε Μουσάων ἱερὸς χορὸς ἠπύσωμεν,
Εἰς ἓν ἐπιπνείοντες ἀοιδῆς τέρματα πάσης.
Ὑμμι καὶ ἐν μέσσαισιν ἐγὼ Φοῖβος βαθυχαίτης,
Δαῖμον ἄνερ τὸ πάροιθεν, ἀτὰρ νῦν δαίμονος αἴσῃ
Θειοτέρῃ πελάων, ὅτ' ἐλύσαο δεσμὸν ἀνάγκης
Ἀνδρομέης, ῥεθέων δὲ πολυφλοίσβοιο κυδοιμοῦ,
Ῥωσάμενος πραπίδεσσιν ἐς ἠϊόνα νηχύτου ἀκτῆς
Νῆχε' ἐπειγόμενος, δήμου ἄπο νόσφιν ἀλιτρῶν,
Στηρίξαι καθαρῆς ψυχῆς εὐκαμπέα οἴμην,
Ἧχι θεοῖο σέλας περιλάμπεται, ἧχι θέμιστες
Ἐν καθαρῷ ἀπάτερθεν ἀλιτροσύνης ἀθεμίστου.
Καὶ τότε μὲν σκαίροντι πικρὸν κῦμ' ἐξυπαλύξαι
Αἱμοβότου βιότοιο καὶ ἀσηρῶν ἰλίγγων,

Ἐν μεσάτοισι κλύδωνος, ἀναΐξου τε κυδοιμοῦ,
Πολλάκις ἐκ μακάρων φάνθη σκοπὸς ἐγγύθι ναίων,
Πολλάκι σεῖο νόοιο βολὰς λοξῇσιν ἀταρποῖς,
Ἱεμένας φορέεσθαι ἐρωῇσι σφετέρῃσιν,
Ὀρθοπόρους ἀνὰ κύκλα καὶ ἄμβροτον οἶμον ἄειραν
Ἀθάνατοι, θαμινὴν φαέων ἀκτῖνα πορόντες.
Ὄσσοισι δέρκεσθαι ἀπαὶ σκοτίης λυγαίης.
Οὐδέ σε παμπήδην βλεφάρων ἔχε νήδυμος ὕπνος.
Ἀλλ' ἄρ ἀπὸ βλεφάρων πτάσας κηλῖδα βαρεῖαν
Ἀχλύος, ἐν δίνῃσι φορεύμενος, ἔδρακες ὄσσοις
Πολλά τε καὶ χαρίεντα, τά κεν ῥέα οὔτις ἴδοιτο
Ἀνθρώπων ὅσσοι σοφίης μαιήτορες ἔπλευν.
Νῦν δ' ὅτε δὴ σκῆνος μὲν ἐλύσαο, σῆμα δ' ἔλειψας
Ψυχῆς δαιμονίης, μεθ' ὁμήγυριν ἔρχεαι ἤδη
Δαιμονίην, ἐρατεινὸν ἀναπνείουσαν ἀήτας,
Ἔνθ' ἔνι μὲν φιλότης, ἔνι δ' ἵμερος ἁβρὸς ἰδέσθαι,
Εὐφροσύνης πλείων καθαρῆς, πληρούμενος αἰὲν
Ἀμβροσίων ὀχετῶν θεόθεν· ὅθεν ἐστὶν ἐρώτων
Πείσματα, καὶ γλυκερὴ πνοιὴ, καὶ νήνεμος αἰθὴρ
Χρυσείης γενεῆς μεγάλου Διός· ἧχι νέμονται
Μίνως καὶ Ῥαδάμανθυς ἀδελφεοὶ, ἧχι δίκαιος
Αἰακὸς, ἧχι Πλάτων, ἱερὴ ἴς, ἧχί τε καλὸς
Πυθαγόρης, ὅσσοι τε χορὸν στήριξαν ἔρωτος
Ἀθανάτου, ὅσσοι τε γενέθλην ξυνὴν ἐλάχοντο
Δαίμοσιν ὀλβίστοις, οἷσι κέαρ ἐν θαλίῃσιν
Αἰὲν εὐφροσύνῃσιν ἰαίνεται). ἀλλὰ ὦ ὅσσοις
Ὀτλήσας ἀριθμοὺς ἀέθλων, μετὰ δαίμονας ἁγνοὺς
Πωλεῦ ζαθρήσσει κορυσσάμενος ζωῇσι.
Στήσωμεν μολπήν τε, χοροῦ τ' εὐδίνεα κύκλον
Πλωτίνου μοῦσαι πολυγηθέος. αὐτὰρ ἐμεῖο
Χρυσείη κιθάρη τόσον φράσεν εὐαίωνι. *id est.*

Immortalem aggredior resonare carminis hymnum, ob amicum suavem, mellitissimos contexens vocalis citharæ modos, aureo pectine: sed & Musas advoco, ut communi voce concinant omnisonis modis, & omnifariis harmoniæ viribus: qualem statuisse chorum ob Aeacidem feruntur immortalium furoribus, & Homericis cantibus. Sed eja Musarum sacer chorus, canamus in unum conspirantes, universi terminos cantus: in medio autem vestrum, ego Phœbus intonsus Genie, vir prius, at nunc genii consortio diviniori accedens, solutus humanæ jam necessitatis vinculo: ex membrorum procelloso turbine mente robustus ad exors alluvionis littus enatas festinans, procul à nefariorum turba: ut insistas animi puri rectissimam viam: ubi dei resplendet fulgor, ubi fas puro in loco procul à nefasto scelere. Et olim quidem salienti ut amaram devitares undam sanguisugæ vitæ, tristiumque vertiginum fluctibus in mediis, surdoque tumultu frequenter à diis apparuit tibi ex proximo signum: frequenter tuæ mentis conjectus obliquis tramitibus ferri cupientes, suis immortales viribus ad recti cursus gyros, æternamque vitam sustulerunt: crebros scilicet luminum radios tuis oculis inter obscurissimas tenebras ostendentes. Nec oculos plane tuos fallax occupabat sopor: sed à palpebris excussa gravi macula caliginis, dum fluctibus ferebaris, multa oculis & venusta contemplatus es, quæ nemo facile vidit eorum hominum, qui sapientiæ fuerunt

indagatores. At nunc ubi ſolutus involucro es, & animæ genialis ſignum deſeruiſti, ad concilium geniale contendis, quod amœnis interſpirat auris: ubi amicitia eſt: ubi cupido viſu mollis, puræ plenus lætitiæ, & ſemper rivis ambroſiis irrigatus à Deo: unde ſunt amorum retinacula, & dulcis ſpiritus, & tranquillus æther aurei generis magni Iovis: ubi agitant Minos & Rhadamanthus fratres: ubi juſtus Aeacus: ubi Plato, ſacra vis: ubi pulcher Pythagoras, & quicunque chorum ſtatuerunt amoris immortalis, quicunque genus commune cum beatiſſimis geniis ſortiti ſunt: ubi animus inter menſas lætitia ſemper hilareſcit. Ah beate quam multis exantlatis laboribus ad caſtos genios abiſti, ad vitam ſtabiliſſimam profectus. Siſtamus carmen, & orbem chori volubilem Plotini Muſæ gaudentes. At aurea mea cithara hæc habuit quæ diceret ævum bene agenti.